eul_wid: fua-ab

*Ἀριστοφῶν ὁ κωμικός* · Aristophon the Comic Poet

# Fragments on Poverty and Feasting

*Ἀποσπάσματα περὶ Πενίας καὶ Εὐωχίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Σαφὴς ὁ χειμών ἐστι· τῆς
book 1.2 πενίας λύχνος ἅπαντα
book 1.3 φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.
book 1.1 Ἔπειθ’ ἠπάτια καὶ νῆστίν
book 1.2 τινα
book 1.3 προσέθηκεν, οἶμαι, πεντέχαλκον
book 1.4 προσλαβών.
book 1.1 Βούλομαι δ’ αὐτῷ προειπεῖν οἷός εἰμι
book 1.2 τοὺς
book 1.3 τρόπους. ἄν
book 1.4 τις ἑστιᾷ, πάρειμι
book 1.5 πρῶτος, ὥστ’ ἤδη πάλαι * * * ζωμὸς καλοῦμαι. δεῖ τιν’ ἄρασθαι μέσον τῶν
book 1.6 παροινούντων, παλαιστὴν νόμισον Ἀργεῖόν μ’ ὁρᾶν.[ln_5]προσβαλεῖν
book 1.7 πρὸς οἰκίαν δεῖ, κριός· ἀναβῆναί τι
book 1.8 πρός κλιμάκιον * * Καπανεύς, ὑπομένειν
book 1.9 πληγὰς ἄκμων, κονδύλους
book 1.10 πλάττειν δὲ Τελαμών, τοὺς καλοὺς
book 1.11 πειρᾶν[ln_7]καπνός.
book 2.1 Αἱ τῶν ἑταιρῶν γὰρ διοπετεῖς οἰκίαι γεγόνασιν ἄβατοι
book 2.2 τοῖς ἔχουσι μηδὲ ἕν.
book 1.1 Κακὸς κακῶς γένοιθ’ ὁ γήμας δεύτερος θνητῶν· ὁ μὲν γὰρ
book 1.2 πρῶτος οὐδὲν ἠδίκει· οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακόν ἐλάμβανεν γυναῖχ’· ὁ δ’ ὕστερον λαβών[ln_5]εἰς
book 1.3 προὖπτον εἰδὼς αὑτὸν ἐνέβαλεν κακόν.
book 1.1 Αἰσχρὸν γενέσθαι

book 1.2 πτωχὸν ἀσθενῆ θ’ ἅμα.

book 1.1 [spk_β]Καὶ μὴν διέφθαρταί γε

book 1.2 τοὔψον

book 1.3 παντελῶς· κλεῖδες μὲν ὀπταὶ δύο

book 1.4 παρεσκευασμέναι. Β. αἷς τὰς θύρας κλείουσιν; Α. οὔ· θύννου μὲν οὖν. Β. σεμνὸν τὸ βρῶμα. Α. καὶ τρίτη Λακωνική.

book 1.1 [spk_β]Ἐν ἡμέραις

book 1.2 τρισίν ἰσχνότερον αὐτὸν ἀποφανῶ Φιλιππίδου. Β. οὕτως ἐν ἡμέραις ὀλίγαις νεκροὺς

book 1.3 ποιεῖς;

book 1.1 Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν

book 1.2 τε μηδὲ ἕν νόμιζ’ ὁρᾶν

book 1.3 Τιθύμαλλον ἢ Φιλιππίδην. ὕδωρ δὲ πίνειν βάτραχος, ἀπολαῦσαι θύμων λαχάνων

book 1.4 τε κάμπη, πρὸς τὸ μὴ λοῦσθαι ῥύπος,[ln_5]ὑπαίθριος

book 1.5 χειμῶνα διάγειν κόψιχος, πνῖγος ὑπομεῖναι καὶ μεσημβρίας λαλεῖν τέττιξ, ἐλαίῳ μήτε

book 1.6 χρῆσθαι μήθ’ ὁρᾶν κονιορτός, ἀνυπόδητος ὄρθρου

book 1.7 περιπατεῖν γέρανος, καθεύδειν μηδὲ μικρὸν νυκτερίς.

book 2.1 Εἶτ’ οὐ δικαίως ἔστ’ ἀπεψηφισμένος ὑπὸ τῶν θεῶν τῶν δώδεκ’ εἰκότως τ’ Ἔρως; ἐτάραττε κἀκείνους γάρ, ἐμβάλλων

book 2.2 στάσεις, ὅτ’ ἦν μετ’ αὐτῶν· ὡς δὲ λίαν ἦν θρασύς[ln_5]καὶ σοβαρός, ἀποκόψαντες αὐτοῦ τὰ πτερά, ἵνα μὴ πέτηται

book 2.3 πρὸς τὸν οὐρανὸν πάλιν, δεῦρ’ αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω, τὰς δὲ πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φορεῖν ἔδοσαν, περιφανὲς

book 2.4 σκῦλον ἀπὸ τῶν

book 2.5 πολεμίων.

book 3.1 Πρὸς τῶν θεῶν οἰόμεθα, τοὺς πάλαι

book 3.2 ποτέ τοὺς

book 3.3 Πυθαγοριστὰς γενομένους οὕτως ῥυπᾶν ἑκόντας, ἢ φορεῖν

book 3.4 τρίβωνας ἡδέως; οὐκ ἔστι

book 3.5 τούτων οὐδέν, ὡς ἐμοὶ δοκεῖ·[ln_5]ἀλλ’ ἐξ ἀνάγκης, οὐκ ἔχοντες οὐδὲ ἕν, τῆς εὐτελείας

book 3.6 πρόφασιν εὑρόντες καλήν ὅρους ἔπηξαν

book 3.7 τοῖς πένησι

book 3.8 χρησίμους. ἐπεὶ παράθες αὐτοῖσιν ἰχθῦς ἢ κρέας, κἂν μὴ κατεσθίωσι καὶ τοὺς δακτύλους, [ln_10]ἐθέλω κρέμασθαι δεκάκις.

book 4-5.1 Ἔφη

book 4-5.2 τε καταβὰς εἰς δίαιταν τῶν κάτω ἰδεῖν ἑκάστους, διαφέρειν δὲ πάμπολυ

book 4-5.3 τοὺς

book 4-5.4 Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γάρ

book 4-5.5 τούτοισι τὸν

book 4-5.6 Πλούτωνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 4-5.7 συσσιτεῖν ἔφη,

book 4-5 [ln_5][spk_β]δι’ εὐσέβειαν. Β. εὐχερῆ θεὸν λέγεις, εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών.[ln_6]* * * * Ἐσθίουσι δέ λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ· φθεῖρας δὲ καὶ τρίβωνα τήν τ’ ἀλουσίαν[ln_10]οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

book 1 Τοιγαροῦν ἐμοὶ μὲν ἀρτίως ὁ δεσπότης δι’ ἀρετὴν τῶν θηρικλείων εὐκύκλωτον ἀσπίδα, ὑπεραφρίζουσαν, τρυφῶσαν, ἴσον ἴσῳ κεκραμένην, προσφέρων ἔδωκεν, οἶμαι, χρηστότητος οὕνεκα.[ln_5]εἶτ’ ἐλευθέραν ἀφῆκε βαπτίσας ἐρρωμένως.

book 1.1 Τὸ τέλος ἅπασίν ἐστι

book 1.2 τοῖς

book 1.3 πτωχοῖσι νύξ· ἐπισκοτεῖ γὰρ

book 1.4 τοῖς κακοῖσι

book 1.5 πανταχοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org